# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΣΙΝΑΪΤΟΥ

Οὗ ἡ Μνήμη τῇ στ΄ Ἀπριλίου.

Ποιηθεῖσα
ὑπὸ τοῦ ταπεινοῦ Ἐπισκόπου Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε εὐφημήσωμεν, τὸν θεοφόρον Γρηγόριον, ὦ φιλέορτοι σήμερον· αὐτοῦ γὰρ ἀνέτειλεν, ἡ ἁγία μνήμη, ὡς ἥλιος μέγας, καὶ καταυγάζει τὰς ψυχάς, τῶν ἐκβοώντων αὐτῷ ἐκ πίστεως· Οσίων ἀκροθίνιον, καὶ μοναστῶν ἐγκαλλώπισμα, τῶν τιμώντων σε πρόστηθι, ταῖς πρεσβείαις σου Ὅσιε.

Ο῞λος ἐκ νεότητες, ἀνατεθείς τῷ Κυρίῳ σου, θεομάκαρ Γρηγόριε, αὐτῷ ἠκολούθησας, διαπύρῳ πόθῳ, τερπνῶν ἀλογήσας, τῶν ἐπιγείων ὁλικῶς, καὶ τῇ ἀσκήσει ἐμπρέψας ἄριστα· διὸ τὴν ἐπουράνιον, ἀναψυχὴν κληρωσάμενος, τῶν πιστῶς εὐφημούντων σε, ταῖς εὐχαῖς σου προστάτευε.

Ε῎ρωτι φλεγόμενος, τῷ οὐρανίῳ Γρηγόριε, μυστικῶς τὴν καρδίαν σου, ἐπ᾿ ὤμων ἐβάστασας, τὸν ζυγὸν προθύμως, Χριστοῦ τοῦ Σωτῆρος, καὶ ἀγωγαῖς ἀσκητικαῖς, ὁδίτης ὤφθης ἐν γῇ οὐράνιος· διὸ πρὸς πλάτος Ὅσιε, τοῦ Παραδείσου κατέπαυσας, σὺν Ἁγίων ταῖς τάξεσι, τῷ Θεῷ παριστάμενος.

Βίον ἀγγελότροπον, Πάτερ θεόφρον Γρηγόριε, μετελθὼν δι᾿ ἀσκήσεως, Ἀγγέλοις ἐφάμιλλος, ἐπὶ γῆς ὡράθης, καὶ χοροστασίαις, ἐν οὐρανοῖς ἀγγελικαῖς, νῦν συγχορεύεις φωτὶ λαμπόμενος, ἀκτίστῳ τῆς θεώσεως, καὶ ἱκετεύων πρὸς Κύριον, τοῦ σωθῆναι ὡς εὔσπλαγχνος, τοὺς τελοῦντας τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ. δ΄.

Εἰς ὕψος θεωρίας, ἀνελθὼν δι᾿ ἀσκήσεως, μυστηρίων αὐτόπτης, καὶ φωτὸς θεάμων, ἐγένου θεομάκαρ Γρηγόριε· Χριστὸν γὰρ ἀγαπήσας, κόσμου κατεφρόνησας, καὶ τὸν Σταυρὸν ἐπ᾿ ὤμων, διὰ βίου ἐβάστασας. Ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος α΄. Σταυρὸς κατεπάγη.

Χριστοῦ τῇ ἀγάπῃ τετρωμένος, ἐμίσησας τρυφὰς τὰς ἐπικήρους, καὶ Ἀγγέλων τὸν βίον, ἐν σαρκὶ ἐμιμήσω.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Α᾿νῆλθες ἐν ὄρει τῷ Σιναίῳ, Γρηγόριε Μωσῆς καθάπερ ἄλλος, καὶ θεώσεως πλάκας, ἐν ψυχῇ ὑπεδέξω.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Α᾿σκήσει τελείᾳ τὰς κινήσεις, Γρηγόριε παθῶν ἀπονεκρώσας, φωταυγείας ἀκτίστου, κατηυγάσθης ἀκτῖσι.

Δόξα. Ἦχος πλ. α΄.

Ο῞σιε Πάτερ Γρηγόριε, τῶν ἀρετῶν τὴν κλίμακα, δι᾽ ἀσκητικῆς συντονίας ἀνελθών, τῶν μυστηρίων τοῦ Θεοῦ, εἰς τὸν γνόφον εἰσελήλυθας, καὶ ἐφωτίσθης τὴν καρδίαν, ταῖς ἀκτίστοις μαρμαρυγαῖς, τοῦ Παρακλήτου Πνεύματος. Διὸ αἴτει τὸν φωτισμόν, ταῖς ψυχαῖς τῶν τελούντων, τὴν φωτοφόρον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα. Εὐλογημένη, πρέσβευε σωθῆναι ἡμᾶς.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Ὁ Προοιμιακὸς καὶ τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Γρηγόριε, ἀκολουθήσας Χριστῷ, τῷ Θεῷ ἐκ νεότητος, τῶν προσκαίρων ἔλιπες, τὴν ματαίαν ἀπόλαυσιν, καὶ τῇ ἀσκήσει, ἐμπρέψας ἄριστα, κληρονομίαν, εὗρες οὐράνιον. Ὅθεν τὴν μνήμην σου, ἐκτελοῦντες σήμερον οἱ εὐσεβεῖς, πρέσβυν σε προσάγομεν, Θεῷ εὐπρόσδεκτον.

Πάτερ θεόφρον Γρηγόριε, ἐνωτισθεὶς τοῦ Χριστοῦ, ὡς ἐχέφρων τὰ λόγια, τὸν Σταυρὸν ἀνέλαβες, εὐσεβῶς ἐπωμάδιον, καὶ ἐσταυρώθης, κόσμῳ καὶ πάθεσι, Ἀγγέλων ζήσας, βίον ἐν σώματι. Ὅθεν Ἀγγέλων σε, ἡ χαρὰ ἐδέξατο ἐν οὐρανοῖς, πάντων μνημονεύοντα, τῶν εὐφημούντων σε.

Πάτερ θεόφρον Γρηγόριε, ἐν τῷ Σινᾷ προσελθών, ἔνθα πρὶν τὸ μυστήριον, τῆς Ἁγνῆς Θεόπαιδος, Μωυσῆς προεώρακε, τῷ χρηστοτάτῳ, σαυτὸν ὑπέταξες, ζυγῷ Κυρίου, τοῦ σὲ καλέσαντος, πρὸς βίον ἔνθεον· ᾧ καὶ παριστάμενος ἐν οὐρανοῖς, ὑπερεύχου πάντοτε, τῶν ἀνυμνούντων σε.

Πάτερ θεόφρον Γρηγόριε, μαθητευθεὶς ἱερῶς, Ἀρσενίῳ τῷ μάκαρι, προσευχῆς καὶ νήψεως, τὰς μεθόδους ἐξέμαθες, καὶ ταύτας πρᾶξιν, βίου κτησάμενος, φῶς ἐθεάσω, Θεοῦ τὸ ἄκτιστον. Ὅθεν διέλαμψας, ὡς φωστὴρ ἀνέσπερος φωταγωγῶν, μοναστῶν συστήματα, ὑπὲρ κατάληψιν.

Πάτερ θεόφρον Γρηγόριε, θείᾳ βουλῇ ἀνελθών, ἐν τῷ ὄρει τοῦ Ἄθωνος, μοναστῶν διδάσκαλος, ἀληθὴς ἐχρημάτισας, ὁσίῳ βίῳ, ὡς σεμνυνόμενος, καὶ θεωρίᾳ, καταλαμπόμενος, καὶ ἀναδέδειξαι, ἅπασιν αἰδέσιμος ὡς χαρακτὴρ, ἔμψυχος ἀσκήσεως· διὸ τιμῶμέν σε.

Πάτερ θεόφρον Γρηγόριε, τῷ ἀνεσπέρῳ φωτί, ἐλλαμφθεὶς τὴν καρδίαν σου, φῶς καθάπερ ἔμπροσθεν, τῶν ἀνθρώπων ἐξέλαμψας, καὶ ἐν θαλάμοις, φωτὸς τῆς χάριτος, τὴν κατοικίαν, εὗρες αἰώνιον. Ὅθεν δεόμεθα, αἴτει ταῖς πρεσβείαις σου τὸν φωτισμόν, ταῖς ψυχαῖς μακάριε, τῶν εὐφημούντων σε.

Δόξα. Ἦχος δ'.

Ἀ̓σκητικῶς τῶν γεηρῶν, τὴν κοινωνίαν ὑπερβάς, Θεῷ τῷ ἀπροσίτῳ ἡνώθης, Γρηγόριε πανθαύμαστε, μοναζόντων ἐγκαλλώπισμα· βίον γὰρ ἰσάγγελον, ἐκ νεότητος ἐκλεξάμενος, καὶ καθαρὸς τῇ καρδίᾳ, δι᾽ ἐγκρατείας γενόμενος, τὰ ὑπὲρ νοῦν ἐμυήθης, καὶ τοῦ ἀκτίστου φωτὸς κατηξίωσαι. Ὅθεν πρέσβευε ἐκτενῶς, ὑπὲρ ἡμῶν τῶν ἐπιτελούντων, τὴν χαρμόσυνον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ̔ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαυῒδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ, ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι· καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον, τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι· καὶ σώσῃ Θεοτόκε τὸν κόσμον, Χριστός, ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει

ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε′, 15-6,3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ′, 7-15)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι

χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α'.

Α᾿γάλλεται ἐν Κυρίῳ, ἡ τῶν πιστῶν Ἐκκλησία, ἐν τῇ ἐνδόξῳ μνήμῃ σου, ἡγιασμένε Γρηγόριε· φωτοφανὴς γὰρ σήμερον, ὡς ἀστὴρ ἐπεδήμησε, τῆς χάριτός σου φωτὶ καταυγάζουσα, τοὺς ἐκ ψυχῆς ἐκβοῶντας· Χαίροις τῶν μοναζόντων καύχημα, καὶ Ὁσίων ἐγκαλλώπισμα· χαίροις ἐγκρατείας διδάσκαλος, καὶ ἀσκήσεως κανὼν ἀκριβέστατος· χαίροις, εὐχῆς ἐργαστήριον, καὶ ἔσοπτρον καθαρώτατον, τῶν ἐπουρανίων ἐλλάμψεων. Παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν τὸν Θεόν, τὸν φωτσμὸν ἐξαίτει, ταῖς ψυχαῖς τῶν εὐφημούντων σε.

Ὁ αὐτός.

Ο῞λος τῷ εὐεργέτῃ Θεῷ, ἀνατεθεὶς ἀπὸ νεότητος, ταῖς τῆς καρδίας αὔλαξι, καθάπερ γῆ ἀγαθή, τὸν θεῖον σπόρον ἐδέξω, Γρηγόριε πανθαύμαστε· τοῦτον δὲ ἀρδεύσας, ἀσκητικοῖς σου ἱδρῶσιν, ἑκατοστεύοντα εὐαγγελικῶς, τὸν καρπὸν ἐξήνεγκας, καὶ φοιτητῶν σου τὰς ἀγέλας, πλουσίως ἐξέθρεψας, νέος Ἰωσὴφ σιτοδότης δεικνύμενος, οὐκ Αἴγυπτον τοῦ λιμοῦ διασῴζων, ἀλλ᾿ εἰς κόρον ἐπαρκῶν, τοῖς αἱρουμένοις δι᾿ ἐγκρατείας, κατὰ Θεὸν πολιτεύεσθαι. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἐπιτελοῦντες, ἑόρτια κροτοῦμέν σοι, καὶ ἱκετικῶς ἀναβοῶμεν· Πρέσβευε Ὅσιε Πάτερ, τῷ δοξάσαντί σε Χριστῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ο῞σιε Πάτερ Γρηγόριε, ἐκ Σιναίου τὴν πορείαν ποιούμενος, πλείστους τόπους καὶ χώρας διήμειψας, συλλέγων ἐκ πάντων τῇ ἀσκήσει τὸ χρήσιμον, καὶ ἑαυτὸν ταῖς ἀρεταῖς παρεχόμενος, τῶν μοναστῶν τῆς πολιτείας παράδειγμα· διὸ Σινᾶ καὶ Ἄθω καὶ Παρορίων τὰ ὄρη, Κρήτη, Λέσβος καὶ Χίος, Θεσσαλονίκη καὶ Κωνσταντινούπολις, τῆς βιοτῆς σου τὰ ἐξαίσια κηρύττουσι, δι᾿ ὧν ἀνεδείχθης ἰσάγγελος, καὶ Ἀγγέλων τὴν δόξαν μετὰ πότμον, ἐν οὐρανοῖς ἐκληρονόμησας, Θεῷ τῷ ἐν Τριάδι παριστάμενος, καὶ αὐτῷ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ο῞σιε Πάτερ Γρηγόριε, τὸ κατ᾿ εἰκόνα Θεοῦ, τῇ πράξει τηρήσας ἀλώβητον, τῇ θεωρίᾳ ὡς φωστὴρ ὑπερέλαμψας, καὶ φοιτητῶν σου τὰς ψυχάς, τῇ γνώσει κατεφώτισας· τέλειον δὲ σεαυτὸν ἀναδείξας, τῷ ἀκτίστῳ φωτὶ προσωμίλησας, καὶ πλουσίως τὰς ἀντιδόσεις, παρὰ Χριστοῦ τοῦ Σωτῆρος ἀπέλαβες. Ὅθεν αὐτῷ παριστάμενος, ὡς θεωθεὶς κατὰ μέθεξιν, ὑπὲρ ἡμῶν μὴ παύσῃ πρεσβεύων, τῶν ἐτησίως τελούντων σου, τὸ εὐαγές σου μνημόσυνον.

Δόξα. Ἦχος δ'.

Ἐκ βρέφους τὴν ἀρετὴν ἐπιποθήσας, καὶ εὐσεβείας τῷ γάλακτι τραφείς, καθαρωτάτῳ νοῒ καὶ ἀγρύπνῳ διανοίᾳ, ὡς θυσίαν καθαρὰν καὶ εὐπρόσδεκτον, ἀσκητικῶς τῷ ἐπὶ πάντων Θεῷ, σεαυτὸν προσῆξας, Σιναΐτα Γρηγόριε. Αὐτός σε οὖν προσεξάμενος, ἄφθονον χάριν σοι δέδωκε, θαυμάτων ἐπιτελεῖν τὰ τεράστια, πρὸς δόξαν τοῦ ὀνόματος αὐτοῦ, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Σιναΐτην συμφώνως, θεῖον Γρηγόριον, τιμήσωμεν ἐν ὕμνοις, φιλοσίων χορεῖαι· οὗτος γὰρ ἀσκήσει, προκαθαρθείς, φῶς κατεῖδε τὸ ἄκτιστον, ὃ πρὶν Θαβὼρ ἐν τῷ ὄρει τῶν Μαθητῶν, ἐθεάσαντο οἱ πρόκριτοι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Ἐν τῷ Σιναίῳ βλαστήσας, φοίνιξ κατάκαρπος, ἀσκητικῶν σου πόνων, μυστικῇ γεωργίᾳ, ἐξέθρεψας εἰς κόρον, τῶν μοναστῶν, τὰς ἀγέλας Γρηγόριε, διαδραμὼν πλείστους τόπους ὡς οὐρανῶν, ἐπὶ γῆς ὁδίτης ἄριστος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Προσκολληθεὶς τῷ Δεσπότῃ, Πάτερ Γρηγόριε, καὶ τούτῳ προσανέχων, τῇ στεῤῥᾷ σου ἀσκήσει, κατέβαλες εἰς τέλος, τῶν νοητῶν, πολεμίων τὰς φάλαγγας, καὶ νικητὴς ἀνεδείχθης περιφανής, ἐν δυνάμει Θείου Πνεύματος.

Δόξα. Ἦχος πλ. β'.

Ὅσιε Πάτερ Γρηγόριε, ἐν τοῖς τρόποις παραζηλῶν, τὸν Θεσβίτην Ἠλίαν, φρόνημα σαρκὸς ῥεούσης, ὑπέταξας τῷ πνεύματι, καὶ ἄλλος οὐρανοδρόμος, μετάρσιος ἀναδέδειξαι, ἐπιβὰς τῷ τεθρίππῳ τῶν ἀρετῶν σου, καὶ φθάσας εἰς Βασιλείας τὰ σκηνώματα. Ὅθεν ἐν αὐτοῖς, ταῖς ἀγγελικαῖς συνὼν χοροστασίαις, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Καθαρός τῇ καρδία, γεγονὼς δι᾽ ἀσκήσεως, τοῦ Θεοῦ τὸ φῶς ἐθεάσω, Σιναΐτα Γρηγόριε· ἐντεῦθεν εὐδοκίᾳ θεϊκῇ, ὡς ἥλιος ἐξήστραψας ἐν γῇ, θεωρίας πρὸς ἀνάβασιν ὁδηγῶν, τοὺς πόθῳ ἐκβοῶντάς σοι· Δόξα τῷ σὲ φωτίσαντι Χριστῷ, δόξα τῷ σὲ ἀναδείξαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Φῶς τὸ ἄκτιστον, εἰσδεδεγμένος, φῶς ἀνέτειλας, τοῖς ἐν τῷ κόσμῳ, Σιναΐτα Γρηγόριε Ὅσιε· σὺ γὰρ Χριστῷ παιδιόθεν ἑπομένος, ἀσκητικῶς τὴν καρδίαν ἐκάθηρας. Ὅθεν πρέσβευε, αὐτῷ ἐκτενῶς μακάριε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Συνδράμωμεν πιστοί, ἐκτελοῦντες συμφώνως, τὴν μνήμην τὴν φαιδράν, τοῦ σοφοῦ Γρηγορίου, καὶ πάντες ἀνακράξωμεν, πρὸς αὐτὸν μετὰ πίστεως· Πάτερ Ὅσιε, Χριστὸν ἀπαύστως δυσώπει, χάριν, ἔλεος, καὶ σωτηρίαν δοθῆναι, ἡμῖν τοῖς τιμῶσί σε.

Δόξα. Ὅμοιον.

Ὡ΄ς γρήγορον ψυχῆς, φερωνύμως τὸ ὄμμα, κτησάμενος σοφέ, τῇ στεῤῥᾷ σου ἀσκήσει, μυστήρια ἀπόῤῥητα, ἐθεάσω Γρηγόριε. Ὅθεν σήμερον, οἱ εὐσεβεῖς σε ὑμνοῦμεν, ἐκτελοῦντές σου, τὴν ἀεισέβαστον μνήμην, Ὁσίων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.

Προστάτιν πρὸς Θεόν, κεκτημένοι σε πάντες, προστρέχομεν Σεμνή, τῷ ἁγίῳ ναῷ σου, αἰτούμενοι βοήθειαν, παρὰ σοῦ Ἀειπάρθενε· ῥῦσαι οὖν ἡμᾶς, τῆς τῶν δαιμόνων κακίας, καὶ ἐξάρπασον, ἐκ καταδίκης φρικώδους, τοὺς σὲ μακαρίζοντας.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῆς σαρκὸς τὸ φρόνημα, ἀπονεκρώσας, τῆς ζωῆς ἀπέλαβες, τὰς ἀθανάτους δωρεάς· διὸ μὴ παύσῃ Γρηγόριε, Χριστῷ πρεσβεύων, ὑπὲρ τῶν ὑμνούντων σε.

Δόξα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίαν κτησάμενος, καρδίαν δι᾽ ἀρετῆς, Χριστός σε ἠγάπησε, καὶ ἐν τῆς δόξης αὐτοῦ, τῷ ὕψει ἀνήγαγεν, ἔνθα χοροστασίαις, ὁμιλῶν ταῖς ἀΰλοις, αἴτει τὴν σωτηρίαν, τοῖς πιστῶς ἐκτελοῦσι, τὴν πάμφωτον σου μνήμην, τρισμάκαρ Γρηγόριε.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε πανάμωμε, τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα, σὺν Ἀσωμάτοις αὐτόν, ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος, μόνη Πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α′. Τὸν συνάναρχον Λόγον.

Γρηγορῶν θεωρίαις, ταῖς ὑπὲρ ἔννοιαν, ταῖς ἀστραπαῖς κατηυγάσθης, τοῦ τρισηλίου φωτός, καὶ ὡς ἔφη ὁ Χριστός, τὸ φῶς τῶν ἔργων σου, λάμπει τῷ κόσμῳ ἐσαεί, πρὸς αὐτὸν καθοδηγοῦν, τοὺς εὐσεβῶς σοι βοῶντας· Χαῖρε, Γρηγόριε Πάτερ, τῶν μοναζόντων ἐγκαλλώπισμα.

Δόξα. Ὅμοιον.

Τὸν Χριστὸν ἀγαπήσας, κατηκολούθησας, αὐτοῦ τοῖς ἴχνεσι Πάτερ, ἐν ἀκλινεῖ λογισμῷ, καὶ διέπρεψας ἐν γῇ, καθάπερ ἄσαρκος· ὅθεν δοξάζων σε αὐτός, χάριν καὶ ἔλεος ἡμῖν, τοῖς σὲ τιμῶσι δωρεῖται, Γρηγόριε θεομάκαρ, ταῖς εὐπροσδέκτοις ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ λιμένα καὶ τεῖχος καὶ καταφύγιον, καὶ ἐλπίδα καὶ σκέπην καὶ προστασίαν θερμήν, εὑρηκότες οἱ πιστοί, πρὸς σὲ προστρέχομεν· καὶ ἐκβοῶντες ἐκτενῶς, ἀνακράζομεν πιστῶς· Ἐλέησον Θεοτόκε, τοὺς ἐπὶ σοὶ πεποιθότας, καὶ τῶν πταισμάτων ἀπάλλαξον.

Οἱ Ἀναβαθμοί, ἤτοι τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε′ Δεκεμβρίου.

Ὁ Ν′. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

www.tezaurliturgic.ro

Ἰδιόμελον. Ἦχος πλ. β'.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ο῞σιε Πάτερ Γρηγόριε, τῇ ἰσαγγέλῳ ἀσκήσει σου, τῆς αἰωνίου ζωῆς τὰ ἀγαθά, εἰς ἑκατὸν καρποφορήσας, ἐν οὐρανοῖς χορεύεις, σὺν Ἀγγέλοις εὐφραινόμενος, καὶ τοῦ ἀκτίστου φωτός, ταῖς αὐγαῖς καταλαμπόμενος· διὸ πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἰρμῶν εἰς στ', καὶ τοῦ Ὁσίου ὁμοίως εἰς στ'. Κανὼν τοῦ Ὁσίου, οὗ ἡ Ἀκροστιχίς· «Γρηγόριον τὸν Σιναΐτην μέλπω», ἐν δὲ τοῖς Θεοτοκίοις· «Κυρίλλου».

Ὠιδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Γρήγορον ἔχων ἀληθῶς Γρηγόριε, ἀσκητικαῖς ἀρεταῖς, τὸ τῆς ψυχῆς ὄμμα, τοῦ ἀκτίστου γέγονας, φωτὸς θεάμων Ὅσιε, καὶ ὡς ἥλιος μέγας, νεύσει Θεοῦ ἐξανέτειλας, μοναστῶν αὐγάζων συστήματα.

Ρ῾ωμαλεότητι ψυχῆς Γρηγόριε, καταφρονήσας σαφῶς, τῆς κοσμικῆς τύρβης, καὶ Χριστοῦ ἑπόμενος, τοῖς ζωηφόροις ἴχνεσι, τῇ στεῤῥᾷ σου ἀσκήσει, εἰς βασιλείας κατέπαυσας, τῆς ἐπουρανίου σκηνώματα.

Η῾ ἐπιλάμψασα ἐν σοὶ τοῦ Πνεύματος, δι᾽ ἀκραιφνοῦς ἀρετῆς, φωτιστικὴ χάρις, Ὅσιε Γρηγόριε, ὅλον σε ἀπειργάσατο, φωταυγῆ καὶ φωσφόρον, πρὸς φῶς Χριστοῦ κατευθύνοντα, τοὺς ἐν ὑμνῳδίαις τιμῶντάς σε.

Θεοτοκίον.

Καταιγιζόμενος σφοδρῶς ὁ ἄθλιος, ταῖς προσβολαῖς τῶν παθῶν, καὶ εἰς ἁμαρτίας, κινδυνεύων βάραθρα, τῇ μητρικῇ σου χάριτι, καταφεύγω κραυγάζων· Ἀντιλαβοῦ μου καὶ σῶσόν, Μῆτερ τοῦ Θεοῦ ὡς φιλεύσπλαγχνος.

Ὠιδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Γρηγόριε Ὅσιε, σὺ τῶν προσκαίρων ἠλόγησας, καὶ προσεκολλήθης τῷ Δεσπότῃ, δι᾽ ἐνθέου ἀσκήσεως.

Ο᾽ρθρίσας πρὸς Κύριον, ταῖς ἀρεταῖς σου Γρηγόριε, φωτὸς τοῦ ἀκτίστου θεωρίαις, τὴν καρδίαν ἐλάμπρυνας.

Ρ῾οαῖς τῶν δακρύων σου, ὡς γῆ καλὴ πιαινόμενος, θείων ἀρετῶν καρποφορίαν, ἀνεβλάστησας Ὅσιε.

Θεοτοκίον.

Υ῾μνοῦμεν Πανάχραντε, τὸ μέγα θαῦμα τοῦ τόκου σου, δι᾽ οὗ τοῖς ἀνθρώποις ἐπεφάνη, τοῦ Θεοῦ τὸ σωτήριον.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου.

Κινήσεις τῶν παθῶν, ἐγκρατείᾳ νεκρώσας, ἐξήνθησας τερπνῶς, ἀπαθείας τὴν χάριν, καὶ φῶς Θεοῦ τὸ ἄκτιστον, ἐθεάσω Γρηγόριε. Ὅθεν ἔλαμψας, τοῖς ἱεροῖς Μαθηταῖς σου, ὡς ἀνέσπερος, τῆς ἐν Χριστῷ πολιτείας, φωστὴρ παμμακάριστε.

Δόξα. Ὅμοιον.

Ε᾽ν Κρήτῃ ἐντυχών, τῷ σοφῷ Ἀρσενίῳ, εὐχῆς τῆς νοερᾶς, παρ᾽ αὐτοῦ ἐδιδάχθης, τὴν μέθοδον Γρηγόριε, Σιναΐτα σεβάσμιε, ἧς διδάσκαλος, αὐτὸς ἐσύστερον ὤφθης, τῶν ἀθροίσματι, τῶν ἱερῶν φοιτητῶν σου· διὸ εὐφημοῦμέν σε.

Θεοτοκίον.

Οἱ θεῖοι Μαθηταί, καὶ Ἀπόστολοι, Κόρη, ἐνθέοις διδαχαῖς, ἀνεκήρυξαν πᾶσι, τὴν ἄφραστόν σου γέννησιν, Θεοτόκε Πανάχραντε, σὲ διδάξαντες, τοῦ προσκυνεῖσθαι ἀξίως, ἀλλ' αἰτοῦμέν σε, σὺν τούτοις αἴτει σωθῆναι, τοὺς πίστει τιμῶντάς σε.

Ὠιδὴ δ'. Σύ μου ἰσχύς.

Ι῞να ζωήν, κερδήσῃς τὴν αἰωνίζουσαν, τῶν προσκαίρων, πᾶσαν σχέσιν ἔλιπες, καὶ ἐν Σιναίου ἀναδραμών, ὄρει τῷ ἁγίῳ, ὅλον σαυτὸν καθυπέταξας, ζυγῷ τῷ χρηστοτάτῳ, τοῦ Κυρίου τῆς δόξης, παμμακάριστε Πάτερ Γρηγόριε.

Ο῎ρη σοφέ, πρὸς τὰ αἰώνια ὕψωσας, τὴν ψυχήν σου, ἐν ἀοίκοις ὄρεσι, καὶ ἐρημίαις δαυϊτικῶς, αὐλισθεὶς Κυρίου, τῇ ἀγαπήσει Γρηγόριε· διὸ φωτὸς θεάμων, τοῦ ἀκτίστου ἐγένου, καὶ φωστὴρ μοναστῶν ἐχρημάτισας.

Νόμῳ Θεοῦ, ὑποκλιθεὶς ἐκ νεότητος, θεωρίᾳ, καὶ πράξει ἠρίστευσας· ὅθεν Γρηγόριε ἐλλαμφθείς, φωτὶ ἀπροσίτῳ, τῆς τρισηλίου ἐλλάμψεως, ὡς φῶς ἔργῳ καὶ λόγῳ, ἱερῶν μονοτρόπων, ταῖς χορείαις παμμάκαρ ἀνέτειλας.

Θεοτοκίον.

Ρ῾άβδῳ τῆς σῆς, ὑπερφυοῦς ἀντιλήψεως, σωτηρίας, πρὸς νομάς με ἴθυνον, τὸν πλανηθέντα Μῆτερ Ἁγνή, ἐν ταῖς ἀνοδίαις, τῶν φιληδόνων ὀρέξεων· σὲ γὰρ ἐπικαλοῦμαι, τὴν ἀμόλυντον νύμφην, τοῦ Θεοῦ καὶ Δεσπότου τῆς κτίσεως.

Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.

Τὸν τῆς νοερᾶς, προσευχῆς θεῖον διδάσκαλον, καὶ τῆς νήψεως ἀστέρα ἀπλανῆ, εὐφημοῦμέν σε Γρηγόριε μακάριε.

Ο῾ φωτολαμπής, ἀσκητὴς Χριστοῦ Ἀρσένιος, σοῦ ἐγένετο διδάσκαλος εὐχῆς, ὦ Γρηγόριε διδάξας σε τὴν μέθοδον.

Νάμασι ψυχήν, τῶν δακρύων ἀρδευόμενος, τοὺς καρποὺς τῶν ἀρετῶν εἰς ἑκατόν, παμμακάριστε Γρηγόριε ἐξήνεγκας.

Θεοτοκίον

Ι῎δε ἐφ᾽ ἡμᾶς, Θεοτόκε Ἀειπάρθενε, καὶ θεράπευσον τὰ τραύματα ἡμῶν, ἡ τὸν μέγα ἰατρὸν Χριστὸν κυήσασα.

Ὠιδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Συλλέγων τῶν ἀρετῶν, τὸ μέλι Πάτερ Γρηγόριε, διῆλθες τόπους πολλούς, ὁσίως ἀσκούμενος· διὸ προσελάβετο, ὁ Χριστὸς πολίτην, οὐρανῶν τῆς βασιλείας σε.

Ι᾿ὼν τῷ πόθῳ Χριστοῦ, εἰς ὄρος Πάτερ τοῦ Ἄθωνος, τῶν ἐν αὐτῷ μοναστῶν, διδάσκαλος γέγονας, αὐτοῖς τῆς ἀσκήσεως, λόγοις τε καὶ ἔργοις, σαφηνίσας τὴν ἀκρίβειαν.

Νικήσας τὸν πονηρόν, ἐν ἐγκρατείας τῷ σκάμματι, ζωοπαρόχῳ χειρί, Θεοῦ Παντοκράτορος, Γρηγόριε Ὅσιε, τῆς δικαιοσύνης, ὑπεδέξω τὸ διάδημα.

Θεοτοκίον.

Λαμπάδα σε φαεινήν, Θεοκυῆτορ γινώσκοντες, τοῦ ἀνεσπέρου φωτός, πιστῶς ἐκβοῶμέν σοι· Φωτὶ τῆς πρεσβείας σου, φώτισον τὸ σκότος, τῶν ψυχῶν τῶν ἀνυμνούντων σε.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν ἐγκρατείᾳ τῶν παθῶν κατακρατήσαντα,
καὶ ἀπαθείᾳ τὴν ψυχὴν κατακοσμήσαντα,
οἱ πιστοὶ ἀνευφημήσωμεν γηθοσύνως·
ὡς φωτὸς γὰρ τοῦ ἀκτίστου ὄμμα γρήγορον,
ἀνατέλλει μυστικῶς τὸ φῶς τῆς χάριτος,
τοῖς κραυγάζουσι· Χαίροις, Πάτερ Γρηγόριε.

Ὁ Οἶκος.

Ἄγγελος σαρκοφόρος, ἐπὶ γῆς ἀνεφάνης, τὸν βίον τῶν Ἀγγέλων ζηλώσας· διὸ ἀγγελικαῖς ὁμιλῶν, χοροστασίαις ἐν ὑψίστοις Γρηγόριε, μνημόνευε πάντων ἡμῶν, τῶν ἐκβοώντων σοι τοιαῦτα·
Χαῖρε, Ὁσίων ἡ εὐκοσμία·
χαῖρε, ἀζύγων ἡ δᾳδουχία.
Χαῖρε, τοῦ Σιναίου ἀστὴρ ἀπλανέστατος·
χαῖρε, Ἐκκλησίας φωστὴρ διαυγέστατος.
Χαῖρε, ἄνθος εὐωδέστατον τῇ ἀσκήσει ἐκφυέν·
χαῖρε, ῥόδον χαριέστατον τῇ εὐχῇ γεωργηθέν.
Χαῖρε, ὅτι ὑπῆλθες ἀγγελότροπον βίον·
χαῖρε, ὅτι ἀνῆλθες πρὸς οὐράνιον ὕψος.
Χαῖρε, κανὼν ἀσκήσεως ἔμψυχος·
χαῖρε, λαμπὰς θεώσεως ἄσβεστος.
Χαῖρε, Θεοῦ θεατὴς μυστηρίων·
χαῖρε, πασῶν ἀρετῶν ἐκμαγεῖον.
Χαίροις, Πάτερ Γρηγόριε.

Μηνολόγιον.

Τῇ ΣΤ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Σιναΐτου.

Στίχοι.
Γρηγορίῳ ἔπαινος τῷ Σιναΐτη,
Πρέπει ὅτι χάριτι κατηγλαΐσθη.
Ἕκτῃ Γρηγορίοιο ψυχὴ ἐς οὐρανὸν ἔβη.

Συναξάριον.

Οὗτος ὁ μακάριος Γρηγόριος, ἐν Κλαζομεναῖς τῆς Μικρᾶς Ἀσίας γεννηθεὶς καὶ ἐκ νεαρᾶς ἡλικίας τὴν πρὸς Θεὸν ἔφεσιν ἔχων, καταλιπὼν τὴν οἰκείαν πατρίδα ἦλθεν ἐν ὄρει τῷ Σινᾷ, ἔνθα τὸν τῶν Μοναχῶν ἐνεδύσατο τρίβωνα. Παρευδοκίμησας δὲ ταῖς ἀσκητικαῖς ἀρεταῖς ἀνεχώρησεν ἐκεῖθεν μετὰ τοῦ μαθητοῦ αὐτοῦ Ὁσίου Γερασίμου τοῦ Εὐβοέως καὶ ἦλθεν ἐν Κρήτῃ, ἔνθα ἐμαθήτευσε τῷ ἐν Ῥάξῳ τὴν ἐρημικὴν ζωὴν μετερχομένῳ Ὁσίῳ Πατρὶ Ἀρσενίῳ, διδαχθεὶς παρ᾽ αὐτοῦ τὰς τῆς νοερᾶς προσευχῆς καὶ νήψεως μεθόδους. Ἐκεῖθεν δ᾽ ἀπάρας τὸν Ἄθωνα κατέλαβε, διδάσκαλος γενόμενος τοῖς ἐν αὐτῷ ἀσκουμένοις πατρᾶσιν. Ἐπιδραμόντων δὲ τῶν Ἀγαρηνῶν κατὰ τοῦ Ἁγιωνύμου Ὄρους καὶ λεηλατούντων τὰ τῶν μοναστῶν ἱερὰ σκηνώματα κατέλιπεν ὁ Ὅσιος τὰς ἐν αὐτῷ διατριβὰς καὶ διελθὼν ἐκ Θεσσαλονίκης, Χίου, Λέσβου καί Κωνσταντινουπόλεως μετέβη ἐν τοῖς ὄρεσι τῶν Παρορίων, ἔνθα διαβιώσας μικρὸν ἐν τόπῳ καλουμένῳ Μεσομιλίῳ, ἐπέστρεψεν ἐν Ἄθωνι, ἐγκατασταθεὶς μετὰ τῶν μαθητῶν αὐτοῦ ἐν κελλίοις πέριξ τῆς Μεγίστης Λαύρας τοῦ Ὁσίου Ἀθανασίου. Πάλιν δὲ διὰ τὸν φόβον τῶν βαρβαρικῶν ἐπιδρομῶν ἀναχωρήσας

τοῦ Ὄρους ἐπανέκαμψεν ἐν Παρορίοις, ἔνθα Λαύραν ἱδρύσας καὶ πλῆθος πολὺ μαθητῶν συνάξας ἐν γήρατι καλῷ τὸν ὁσίοις πρέποντα ὕπνον κεκοίμηται.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Εὐτυχίου, Πατριάρχου Κωνσταντινουπόλεως.

Στίχοι.
Εὐτύχιον θανόντα τιμῶν τοῖς λόγοις,
Ἐμαυτὸν αὐτὸς εὐτυχέστατον κρίνω.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων ἑκατὸν εἴκοσι Μαρτύρων τῶν ἐν Περσίδι.

Στίχοι.
Ἂν ἐξαριθμῇς οὓς τὸ πῦρ Πέρσας φλέγει,
Εὕροις ἔχοντας τετράκις τὸ τρὶς δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ὁσίας Πλατωνίδος.

Στίχοι.
Πόλου πλάτη φέρουσι τὴν Πλατωνίδα,
Ταῖς ἀρεταῖς λάμψασαν εἰς τὰ γῆς πλάτη.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων δύο Μαρτύρων τῶν ἐν Ἀσκάλωνι ἄχρις ὀσφύος χωσθέντων καὶ τελειωθέντων.

Στίχοι.
Ἀνηρότως σοι γῆ φύει καρπόν, Λόγε.
Ὁ καρπὸς ἄνδρες, ἄχρις ὀσφύος, δύο.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠιδὴ ζ΄. Παῖδες Ἑβραίων

Α῎νω τὸ ὄμμα κεκτημένος, τῆς καρδίας σου Γρηγόριε παμμάκαρ, οὐδαμῶς τῆς σαρκός, ἐφείσω ἀλλὰ σκεῦος, αὐτὴν τερπνὸν ἐποίησας, ἀρετῶν δι᾽ ἐγκρατείας.

Ι῎σχυσας πόνοις ἀνενδότοις, τῆς ἀσκήσεως κατὰ τοῦ παλαμναίου, ἀναδείξας αὐτόν, εἰς παίγνιον παμμάκαρ· διὸ Χριστὸς δοξάζει σε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τρίβον ὁδεύσας τεθλιμμένην, ἀναφαίρετον ἐκτήσω εὐφροσύνην, καταπαύσας Ἐδέμ, Γρηγόριε εἰς πλάτος· διὸ ἡμῶν μνημόνευε, τῶν τελούντων σου τὴν μνήμην.

Θεοτοκίον.

Λάμπρυνον Μῆτερ τὴν ψυχήν μου, τῆς σῆς χάριτος ἀπλέτῳ φωταυγείᾳ, ἡ τοῦ κόσμου τὸ φῶς, Χριστὸν τὸν ζωοδότην, ὑπερφυῶς κυήσασα, εἰς ἀνθρώπων σωτηρίαν.

Ὠιδὴ η'. Τὸν Βασιλέα.

Ἤρθης πρὸς ὕψος, τῆς μυστικῆς θεωρίας, τὴν καρδίαν σου εὐχῇ ἀδιαλείπτῳ, καὶ νήψεως πράξει, Γρηγόριε πτερώσας.

Νέον Μωσέα, ἀνέδειξέν σε ἡ χάρις, δι᾽ ἀσκήσεως τῶν πόνων εἰσελθόντα, Γρηγόριε Πάτερ, ἐν γνόφῳ θεοπτίας.

Μαρμαρυγῆς σε, τῆς μυστικῆς ὁ Δεσπότης, κατηξίωσε Γρηγόριε θεόφρον, ὡς σαρκὸς ἀσκήσει, νεκρώσαντα τὰ πάθη.

Θεοτοκίον.

Ὁ σὺν Πατρί τε, καὶ Θείῳ Πνεύματι Λόγος, βασιλεύων τῶν αἰώνων Θεοτόκε, ἐκ σοῦ ἐσαρκώθη, βροτῶν εἰς σωτηρίαν.

Ὠιδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ἑλόμενος διάγειν ἀσκητικῶς, ἡσυχίᾳ ἐν ἄκρᾳ τὸν βίον σου, Πάτερ σοφέ, ἐν τῶν Παρορίων θείᾳ σπουδῇ, τῷ ὄρει μετηνάστευσας, ἔνθα διαλάμψας δι᾽ ἀρετῆς, τὰς πρῴην ἐρημίας, ἐπόλισας τῷ πλήθει, τῶν φοιτητῶν σου ὦ Γρηγόριε.

Λαμπρύνας τῆς καρδίας τὸ ὀπτικόν, ἀγρυπνίαις, νηστείαις, δεήσεσι, καὶ προσευχαῖς, τῷ καθαρωτάτῳ θείῳ φωτί, ἀξίως προσωμίλησας, καὶ ἀνθρώπων ἔμπροσθεν τηλαυγῶς, ὡς ἔφη ὁ Δεσπότης, τὸ φῶς τῆς χάριτός σου, ἔλαμψας Ὅσιε Γρηγόριε.

Πατήσας μεθοδείας τοῦ δυσμενοῦς, ἐγκρατείας μεθόδοις καὶ νήψεως, πρὸς οὐρανόν, ἔσχες τὴν ἀνάβασιν ἀληθῶς, ἀπρόσκοπτον Γρηγόριε, ἔνθα παριστάμενος νῦν Χριστῷ, πρεσβείαν μὴ ἐλλίπῃς, ποιεῖσθαι ὑπὲρ πάντων, τῶν προστρεχόντων σοι ἐκ πίστεως.

Ὢ Πάτερ μοναζόντων καθηγητά, προσευχῆς θεοφόρε διδάσκαλε, πᾶσιν ἡμῖν, τοῖς ἐπιτελοῦσιν χαρμονικῶς, τὴν μνήμην σου Γρηγόριε, πρόστηθι προστάτης καὶ βοηθός, ταῖς θείαις σου πρεσβείαις, πρὸς τὸν δοξάσαντά σε, ἐν οὐρανοῖς τῆς δόξης Κύριον.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία τὸν Λυτρωτήν, δι᾽ ἡμᾶς ἀπειράνδρως ἐκύησας, δίχα τροπῆς, καὶ φυρμοῦ ὡς πάλαι οἱ θαυμαστοί, Προφῆτες προεκήρυξαν· ὅθεν σοι βοῶμεν χαρμονικῶς· Παρθένε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, χαῖρε τὸ μέγα ἐγκαλλώπισμα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Γρηγόριον τιμήσωμεν, τὸν Σιναΐτην ᾄσμασι· Χριστὸν γὰρ οὗτος ποθήσας, καὶ κόσμου καταφρονήσας, ἀσκήσεως διέπρεψεν, ὁσίοις κατορθώμασιν, καὶ ὡς φωστὴρ διέλαμψεν, ἐν μοναζόντων χορείαις, τὴν Ἐκκλησίαν αὐγάζων.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Α᾽σκητικῶς δοξάσας, τὸν σὲ καλέσαντα Χριστόν, καὶ ἐλλαμφθεὶς τὴν καρδίαν, τῷ τῆς Τριάδος φωτισμῷ, Γρηγόριε χρηματίζεις, φῶς τοῖς πιστῶς σε τιμῶσι.

Θεοτοκίον.

Χρυσοπλοκώτατε Πύργε, καὶ δωδεκάτειχε Πόλις, ἡλιοστάλακτε Θρόνε, Καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα! πῶς γαλουχεῖς τὸν Δεσπότην.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β′. Ὅλην ἀποθέμενοι.

Ο῞λην ἀποθέμενος, τὴν κοσμικὴν πραγματείαν, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν, ἐπὶ γῆς ὡς πάνσοφος, ἠκολούθησας, καὶ δι᾽ ἀσκήσεως, τῶν ἀγωνισμάτων, τῶν προσύλων τὴν καρδίαν σου, προκαθηράμενος, τῶν ἐπουράνιων ἐλλάμψεων, θεάμων ἐχρημάτισας, Πάτερ θεοφόρε Γρηγόριε. Ὅθεν ἐν θαλάμοις, χορεύων ἐν ὑψίστοις τοῦ φωτός, τὸν φωτισμὸν αἴτει πάντοτε, τοῖς ἀνευφημοῦσί σε.

Ο῞λος τιτρωσκόμενος, τοῦ Ἰησοῦ τῇ ἀγάπῃ, τὰς ἐν γῇ τερπνότητας, ὁλικῶς ἐμίσησας, παμμακάριστε, καὶ ἐπωμάδιον, τὸν Σταυρὸν βαστάζων, ἐν νηστείαις ἀγρυπνίαις τε, παννύχοις στάσεσι, καὶ ἀκαταπαύστοις δεήσεσι, τὸν δρόμον ἐξετέλεσας, Πάτερ ἀσφαλῶς τῆς ἀσκήσεως. Ὅθεν καταπαύσας, ἐν τῷ τῆς βασιλείας πλατυσμῷ, μὴ ἐπιλάθῃ Γρηγόριε, τῶν μακαριζόντων σε.

Ο῞λον ἀναθέμενος, σαυτὸν Χριστῷ τῷ Κυρίῳ, τὴν ψυχὴν ἐκάθηρας, ὑλικῶν ἐμφάσεων, δι᾽ ἀσκήσεως· φῶς δὲ τὸ ἄκτιστον, ὃ ἐν Θαβωρίῳ, Μαθητῶν θείων οἱ πρόκριτοι, τὸ πρὶν ἑώρακαν, Πάτερ ἐθεάσω καὶ ἔλαμψας, ὡς ἥλιος ἀνέσπερος, μοναστῶν αὐγάζων συστήματα. Ὅθεν σε τιμῶμεν, δεόμενοι πρεσβείαις σου λαβεῖν, ἁμαρτιῶν ἡμᾶς ἄφεσιν, Ὅσιε Γρηγόριε.

Ο῞λος ἐνθεώτατος, ἀσκητικῇ πολιτείᾳ, ὅλος ἐλλαμπόμενος, ἀρετῶν ἁγίων σου, ἐπιλάμψεσι, πρὸς τὰ σκηνώματα, τῆς αἰωνιζούσης, εὐφροσύνης ἐξεδήμησας, καὶ τῶν καμάτων σου, θεϊκῇ παλάμῃ ἀπέλαβες, ἀμάραντον τὸν στέφανον, Πάτερ θεοφόρε Γρηγόριε. Ὅθεν παῤῥησίᾳ, ἱκέτευε ἀπαύστως τὸν Θεόν, ὑπὲρ ἡμῶν τῶν τελούντων σου, μνήμην τὴν χαρμόσυνον.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος β΄.

Τὸν ἐν ἀσκήσει ἀνέσπερον φωστῆρα, καὶ μοναστῶν κανόνα ἀκριβέστατον, Γρηγόριον πιστοὶ εὐφημήσωμεν, ὅτι τῶν ἀρετῶν ἀνεδείχθη, καθαρὸν τῷ ὄντι καταγώγιον, καὶ χάριτος σεπτὸν οἰκητήριον, ἀσκητικῶς ἔμψυχον ἑαυτόν, θυσίαν θύσας τῷ Κυρίῳ αἰνέσεως. Διὸ καὶ πρὸς αὐτόν, ἐν κατανύξει ἐκβοήσωμεν· Ὁσιώτατε Πάτερ, πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ὁσίου ἡ γ΄ καὶ στ΄ Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ ε΄ Δεκεμβρίου, ἐν τῇ μνήμῃ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τὸν τῆς ἡσυχίας μέγαν πυρσόν, καὶ τῆς θεοπτίας, καθαρώτατον ὀφθαλμόν, τὸ γρήγορον στόμα, Θεοῦ τῶν μυστηρίων, Γρηγόριον ἐν ὕμνοις, πάντες τιμήσωμεν.

*Στίχοι.*
*Γρηγόριε γρήγορος ἐλθὲ προστάτης,*
*Κυρίλλῳ ὑμνήσαντι τὰς ἀρετάς σου.*